


Πλοῦς εἰς τὴν Σελήνην

Τὰ τοῦ δρᾱ́ματος πρόσωπα

Διδάσκαλος Κάρολος Γαισόταφρος· καθηγητής, ἐπιστήμων περὶ φύσεως
Ἰᾱ́κωβος Παῖς· ἐργαστηρίων κτήτωρ
Δέψης· στρατηγός
Ἰώσηπος Ἡδύς· ἄνθρωπος δημοτικός
Αἰμιλία Γαισόταφρος· γυνὴ Καρόλου



Πλοῦς εἰς τὴν Σελήνην
Σήμερον, θαυμάζοντες τὴν ἐπιστήμην, ἔχομεν ἀεροσκάφη μὲν τὸν ἦχον ὑπερβάλλοντα. Πῡραύλους δὲ διερχομένους διὰ τοῦ οὐρανοῦ μῡρία στάδια. Τὴν δὲ πῡρηνικὴν ἐνέργειαν ἡμῖν ὑποτεταγμένην, δύναμιν κρατίστην οὖσαν.
Τί δὴ τοῖς ἀνθρώποις αὔριον γενήσεται; Ἆρ' αὐτίκ' ἀνοισθήσονται ἀπὸ τῆς Γῆς εἰς τὸ ἄπειρον κενὸν διάστημα;
Τέσσαρες δ' ἄνδρες ἀγαθοὶ πειρῶνται ἀποκρῖνασθαι πρὸς τοιοῦτο ἐρώτημα, σημειῶντες μὲν ὁδὸν διὰ τῶν πλανήτων, πορευόμενοι δ' ἐπὶ πῡραύλου εἰς τὸ ἄγνωστον, πλέοντες δ' εἰς τὴν Σελήνην.



Ἐν ἐρήμῳ που τῶν δυσμῶν ξηρᾷ τινι.
Περιερχ-όμεθα;
εὐλαβοῦ πεδίου κλειστοῦ καὶ πᾶσιν ἀδιαπορεύτου κελεύσει τοῦ η.π. στρατοῦ.
Ναί, κύριε. Ὁ γὰρ στρατὸς καθ' ἑσπέραν ἐν τῷ πεδίῳ λαμβάνει πεῖραν καινοῦ πῡραύλου. Ἀλγῶ ὅτ' οὐκ ἔξεστί σοι εἰσιέναι.
Ἐν τῷ ἀπηγορευμένῳ πεδίῳ πάντα παρεσκεύασται.
Ἀφίεται εἰς δύο λεπτά. Παράστητε.
Ἀσφαλεῖς ἐσμεν ἐν ταύτῃ τῇ σκῡρώδει σκοπῇ, εἰ καὶ ὁ πύραυλος ἐκραγείη. Ἀφίκοιτο δ' ὁ πύραυλος ἡμῶν ἔχων δορυφόρον τεχνητὸν εἰς ὕψος δέκα μῡρίων σταδίων ὑπὲρ τῆς Γῆς.
Πάντων ἐν τῷ πύργῳ τὸν νοῦν προσεχόντων, ἐπέρχεται ἡ ἀκμή.
Ἓν λεπτὸν μέχρι ἀφέσεως. νθ' δευτερόλεπτα, νη', νζ'.
Δύο δὲ μάλιστα ἁπάντων ἀνιᾶσθον, καθηγητὴς Κάρολος Γαισόταφρος, ὁ ἐπιστήμων περὶ φύσεως, καὶ ἀποστράτηγος τοῦ στρατοῦ Δέψης.
Σὺ μέν, ὦ καθηγητὰ Γαισόταφρε, διαγράψας κατεσκευάσω τὸν πύραυλον, ἐμπειρότατος περὶ τούτων ὤν. Ἔγω δὲ χαίρω σοι συλλαβόντι μοι.
μβ' δευτερόλεπτα, μα', μ', λθ'.



Ἀλλὰ σὺ πρῶτος τὴν ἔννοιαν ἔλαβες, στρατηγὲ Δέψη. Καὶ γὰρ πολὺν χρόνον τοῖς ἄλλοις στρατηγοῖς ἔλεγες ὅτι δορυφόρος τεχνητὸς ἀναπεμφθεὶς κύκλῳ περιίοι ἂν τὴν Γῆν. Οὗτοι μὲν οὐ μόνον κατεφρόνησαν σοῦ ἀλλὰ κατέλῡσαν σέ. Ἡμεῖς δὲ δείξομέν σε ἀληθῆ εἰπόντα.
κδ' δευτερόλεπτα, κγ', κβ', κα' κ'.
Ἔστι δὲ καὶ ἄλλος τις διατρῖβων ἐν τοιαύτῃ τῇ γνώμῃ, Ἰώσηπος Ἡδὺς Βρουκλῖναῖος ἐκ τῶν Ἡνωμένων Πολῑτειῶν Ἀμερικῆς.
Ἐγώ εἰμι ὁ μοχλευτὴς ὁ ἀφιεὶς τὸν πύραυλον. Νὴ Δία, ὅταν τοῦτο ἀκούσωσιν οἱ ἐν Βρουκλῖνῃ γείτονες, ἔξω τοὔνομα ὅσον τῶν ἀθλητῶν.
ια', ι', θ', η', ζ',
Βραδέως ἕλκεται ὁ χρόνος πρὸς τὴν ἀκμήν.
δ', γ', β', ἀφείσθω.
Ἀπὸ τῆς ἀφετηρίας.
BZZZZZT
Ἰδού, ἀπέρχεται.
BROARRRR!
Ἐξαίφνης δέ...
BOOM!
Ὁ πύραυλος ἐξερράγη.
Ὕστερον...
Ἐπράξαμεν κακῶς, ὦ καθηγητά.
Ἀναπειρησόμεθα δ', ὦ στρατηγέ.
Ἄληθες; Πόθεν ἡμῖν ἡ βοήθεια, ὦ καθηγητά; Οὐ γὰρ οἷός τ' ἔσομαι κολακεύων περιποιήσασθαι ἄλλα ἀπὸ τοῦ Συνεδρίου χρήματα, μάλιστα δ' ἐπεὶ τοῦτο τὸ πρᾶγμα κακῶς ἀπέβη.
Οἱ ἐργαστηρίων κτήτορες βοηθήσουσιν ἡμῖν. Σὺ μὲν οὖν τούτου ἐπιμελοῦ. Ἐγὼ δὲ κρείσσω διαγράψω πύραυλον. Οὔπω γὰρ ἡσσήμεθα.



Τίνι δι' ὠφελείας; Ὁ μὲν γὰρ πύρ-
αυλος αὐτῶν πρὸ τῶν ὀφθαλμῶν
αὐτῶν ἄρτι διερράγη, αὐτοὶ δ'
ἄλλον ἤδη συσκευάζονται. Οὐ δὴ
μανθάνουσιν οὗτοι οἱ δύο
παλαισταὶ ὅτι τρὶς
πεπτώκᾱσιν.
...καὶ εἰς τὴν
Σελήνην ὁ
ἑπόμενος
πύραυλος ἡμῶν
ἐνταθήσεται.
Ἀκρῑβῶς,
καθηγετά. Ἡ
γὰρ Σελήνη ὁ
σκοπὸς ἡμῶν.
Ἡ Σελήνη; Νὴ Δία. Οὗτοι
μαίνονται καὶ παραφρονοῦσιν.
Μηδὲν ἧττον εἰς τὴν Σελήνην
πύραυλον πέμψαι θέλουσιν.
Ὦ μάταιοι ἐν τοῖς ὕπνοις
αὐτῶν.
Ὁ δ' ὕπνος ἐξέρχεται, ὡς ὁ στρατηγὸς Δέψης τὰ
ἑαυτοῦ διαπράσσει ἐπισκοπῶν Ἰάκωβον Παῖδα, νέον
ἐργαστηρίων κτήτορά τινα.
Ὦ Παῖς λέγω σοι ὅτι χρή σε βοηθεῖν ἡμῖν.
Ἀνάγκη μὲν γάρ τινα πρῶτον εἰς τὴν
Σελήνην ἀφικέσθαι, ἄμεινον δ' Ἀμερῑκᾱνόν.
Τοῦτο γάρ, στρατιώτης ὤν, οἶδα. Τί
πλέον εἴπω σοι;
Ἀλλά...
Ταῦτά ἐστιν ὑπὲρ
αὐτῆς τῆς Ἀμερικῆς,
καὶ ἐν εἰρήνῃ καὶ ἐν
πολέμῳ.
Εἴη, εἰ οὕτως ἔχει,
ὡς λέγεις, τί
ἀρνήσομαι; Νῑκᾷς.
Καὶ συλλέξομαί σοι
ἄλλους δώδεκα
βοηθούς. Νῦν γὰρ
αὐτὸς σπουδάζω.
Καλῶς. Αὐτοὺς δ' εἰς σύν-
οδον ὀγδοαίους κάλει,
βλέπειν παράδειγμα τοῦ
διαστημοπλοίου τοῦ κα-
θηγητοῦ Γαισοτάφρου.
Ἐν δὲ τῷ μεταξὺ ἐν τῇ οἰκίᾳ τοῦ ἐπιστήμονος...
Διὰ νυκτὸς
ἠργάσω, φίλε.
Πέπρᾱκται,
Αἰμιλία,
πέπρᾱκται.


Ἐκείνη ἡ ναῦς διάξει ναύτας εἰς τὴν Σελήνην.
Μήτι αὐτὸς εἶ, φίλτατε; Τάχα γὰρ ἂν σῶς οὐκ ἐπανέλθοις.
Ἔλθοιμι ἄν. Καὶ γὰρ οὗτος εἴη ἂν ὁ μέγιστος κίνδυνος ὅν τίς ποτε ἀναρρῖψαι. Ἀποχωρεῖν ἐκ τῆς Γῆς καὶ φέρεσθαι ἐν τῷ διαστήματι πρὸς τὴν ἀδελφὴν αὐτῆς. Λαμπρὸν ἔργον εἴη ἄν, Αἰμιλία.
Ἀλλὰ δῆλον ὅτι οὐ μὴ καταλείψω σέ τε καὶ τὰ τέκνα, Αἰμιλία. Κατασκευάσομαι δὲ τὴν ναῦν αὐτοῖς τοῖς ναύταις.
Χάρις τῷ Θεῷ.
Νὴ Δία, πάτερ, ἦ ἐκείνη ἡ ναῦς ἀφίξεται εἰς τὴν Σελήνην; Ἆρ' ἔξεστί μοι συνακολουθεῖν;
Φεῦ, οὐκ ἔξεστί σοι, Ἀντώνιε. Δεήσει γὰρ ἡμῖν τεσσάρων ἀνδρῶν τῶν ὄντων ἀρίστων τε καὶ γενναιοτάτων.
Αὐτὴ δ' ἡ ναῦς οὔπω ἐναυπηγήθη. Ὀφείλω γάρ, συνελθὼν τοῖς μεγάλοις ἐργαστηρίων κτήτορσιν ὑπὸ στρατηγοῦ Δέψου καὶ Ἰακώβου Παιδὸς συνειλεγμένοις, πεῖσαι αὐτοὺς ναυπηγῆσαι τὴν ναῦν. Εὔχου τοῦτο.
Ἐν τῇ συνόδῳ...
Ὤνδρες, τόδε τὸ διαστημαπλοῖον κατασκευασόμεθα. Πέπεισμαι γὰρ αὐτὸ κατάξειν τέσσαρας ἄνδρας εἰς τὴν Σελήνην ἀναχθέντας.
Τί γὰρ εἰς τὴν Σελήνην γε βούλῃ ἐλθεῖν;


Τί; Τί Κολόμβος ἐξεῦρε τὴν Ἀμερικήν; Τί ἄνδρες ἀγαθοὶ σὺν πόνῳ ἐπορεύθησαν ἐπὶ τὸν βόρειον πόλον; Ὅτι οἱ πρόδρομοι κινδῡνεύουσιν. Ὅτι διὰ πάντων τῶν αἰώνων οἱ ἄνθρωποι κατασκοποῦσι τὸ ἄγνωστον. Αὕτη γὰρ ἡ αἰτία.
Εἶεν, ἀλλ' ἆρ' ἀφίξεται ἡ ναῦς σου εἰς τὴν Σελήνην; Πῶς πύραυλος πορευθείη ἂν διᾱκοσιάκις μύρια στάδια διὰ τοῦ κενοῦ διαστήματος; Ἀδύνατον γὰρ δοκεῖ εἶναι.
Θεᾶσθε. Ἰδού, ταινία πρὸς τοῦτο ἑτοίμη ἔχουσα ἐκεῖνο τὸ πρόσωπον ἐζωγραφημένον Δρῦν Δρυοκολάπτην. Εὖ, ἅψον τὸν προβολέα.
Ὅταν Δρῦς Δρυοκολάπτης βέλος ἀφῇ, ἡ μεγάλη ἔκρηξις ἀνακρούει αὐτόν. Αὕτη γὰρ ἡ ἀρχὴ πάντων τῶν πῡραύλων.
BOOM!
Τοῦτο μὲν καθ' ὑπερβολὴν εἴρηται. Ὁ δὲ Δρῦς πειρᾱσάμενος γιγνώσκει ὅτι διὰ τῆς ἀνακρούσεως εἰς τὸν ἀέρα ἀναφέρεται. Καὶ γὰρ, ὦνδρες, οὕτω πάντα τὰ ἀεριωθούμενα σκάφη πέτεται.
BANG! BANG!
Νῡνὶ δὲ Δρῦς πορεύεται ἐπὶ πῡραύλου εἰς τὴν Σελήνην, χρώμενος τῇ ἀρχῇ ἀνακρούσεως ἀποχωρῆσαι ἐκ τῆς Γῆς.
Δρῦς γιγνώσκει ὅτι δεῖ αὐτὸν χρῆσθαι μεγάλαις πῡραύλου δυνάμεσιν ἵνα τὴν τῆς Γῆς βαρύτητα ἐκδύηται, ὁμοίᾱν μαγνήτιδί τινι δεινῇ οὖσαν.
Ἀλλ' ἰδού· ὅταν Δρῦς ἀπολῡθῇ τῆς Γῆς ἑλκούσης, τότε οἷός † ἐστί, σβέσᾱς τὸν πῡ́ραυλον, ἐλευθέρως πίπτων παραπλεῖν τὴν λοιπὴν εἰς τὴν Σελήνην ὁδόν. Ὥστε διατρέχει ἑκκαιδεκάκις μύρια στάδια, ὦνδρες, οὐδὲ χρώμενος οὐδεμίᾳ καυσίμῳ ὕλῃ.



Διὸ ῥᾴδιόν ἐστιν ἀφικέσθαι εἰς τὴν Σελήνην. Μόνον γὰρ δεῖ καυσίμου ὕλης ἱκανῆς ἀποφυγεῖν τὴν τῆς Γῆς βαρύτητα.
Ἆρά γε ἔχεις τοιαύτην τὴν ὕλην, ὦ καθηγετά;
Ἔχω. Ἥδε γὰρ ἡ μηχανὴ πῡρηνικῇ ἐνεργείᾳ ὠθουμένη καὶ χρωμένη πῡρηνικῇ ὕλῃ εὖ πρᾴξει. Ἐν πολέμῳ μὲν ἡ πῡρηνικὴ δύναμις πρῶτον ὠφέλησεν. Καὶ ἐν εἰρήνῃ δ', ὦνδρες, διὰ τοῦ πῡραύλου δείξομεν τὴν πῡρηνικὴν δύναμιν ὠφελήσειν. Οὐ τοῦτο μόνον ποιεῖ τὴν γνώμην αὐτὴν ἀξιωτάτην;
μηχανὴ πῡρηνικῇ ἐνεργείᾳ ὠθουμένη
Πάνυ γε· νῑκᾷς, ὦ καθηγετά.
Χάριν ἔχω ὑμῖν, ὦνδρες. Διὸ εὐθὺς ἐπιχειρήσομεν τῷ διαστημοπλοίῳ.
Λόγος θαυμαστός, ὦ καθηγετά. Κατασκευάσομεν οὖν τὸν πύραυλον αὐτοῖς τοῖς ναύταις.
Πρὸς τὸν πρῶτον εἰς τὴν Σελήνην πλοῦν.
Ὁ μὲν χρόνος προβαίνει, τέλος δέ...
Ἀποτετέλεσται τὸ διαστημοπλοῖον, τὸ δοκιμαζόμενον καὶ τῶν ἐπιτηδείων γεμιζόμενον.
Μόλις εἷς μείς ἐστι μέχρι τῆς ἀπογειώσεως.



Ὦ καθηγητὰ Γαισόταφρε, δοκεῖς μοι ταράσσεσθαι. Τί τὸ πρᾶγμα;
Φεῦ, ἀγγελίᾱ κακή. Ἧδε γὰρ ἡ ἐπιστολὴ ἄρτι ἦλθεν ἀπὸ Οὐασίνγκτου, Π.Κ.
Οἱ ἐπιτετραμμένοι τὸ τῶν πῡραύλων πειρᾶσθαι ἄρτι ἀνένευσαν ἡμῖν τοῦτον τὸν πύραυλον ἀφήσειν. Ἐπεὶ οὗτος πῡρηνικῇ ὕλῃ χρῆται, ἐκεῖνοι φοβοῦνται μὴ μεγάλη πῡρηνικὴ ἔκρηξις γένηται, εἰ τὸ πρᾶγμα κακῶς ἀποβαίη.
Οὐκοῦν καταπεπαύμεθα.
Μένετε. Τί νῦν οὐκ ἀφήκαμεν αὐτόν, πρὶν ἂν δὴ ἡμᾶς παύσωσιν; Οὐδεὶς γὰρ νόμος κωλύει ἡμᾶς ἰέναι. Ἀπίοιμεν ἂν ἅμα τῇ ἡμέρᾳ εἰς ἑπτακαίδεκα ὥρας ὕστερον.
Μαίνει, ὦ Παῖς. Ὅτι ἀπολειπόμεθα ναυτῶν ἑτοίμων.
Τίνος δεόμεθα ἡμεῖς; Ἐγὼ μὲν γὰρ καὶ ὁ στρατηγὸς κυβερνῷμεν ἄν, σὺ δέ, ὦ καθηγητά, χρῷο ἂν τῇ μηχανῇ. Ὁ δ' Ἰώσηπος Ἡδὺς ἡμῖν τηλεκοινωνίας ἔμπειρος.
Ἀρέσκει μοι.
Κἀμοί. Οὐ μὴ παύσουσιν ἡμᾶς εἰς τοῦτο ἀφιγμένους.
Εὖγε. Ἅμα οὖν τῇ ἡμέρᾳ ἀπόγειοι πλευσόμεθα εἰς τὴν Σελήνην.
Ἄμεινόν ἐστιν Ἰώσηπον Ἡδὺν πυθέσθαι ταῦτα...
Χαῖρε, ὦ στρατηγέ. Τί πράττεις; Φαίνῃ οὕτω κεκῑνημένος ὡς τεθλῑμμένος.
Ἰώσηπε, μεταβουλεύσαντες ἅμα τῇ ἡμέρᾳ ἀπόγειοι ἐσόμεθα. Καὶ σὲ εἱλόμεθα τέταρτον ἰέναι εἰς τὴν Σελήνην.
Ἆρα μόνον τοῦτο; Εἶμι οὖν εἰς τὴν Σελήνην.




Εἰς τὴν Σελήνην; Ἆρα μὴ ἀπὸ σοῦ ἤκουσα αἱρεθῆναι ἀκολουθεῖν ὑμῖν εἰς τὴν Σελήνην;
Ἀπόλῡσόν με. Βοηθεῖτε. Οὐκ εἶμι εἰς τὴν Σελήνην. Τί δέ; Δοκῶ σοι μαίνεσθαι;
Ἡσύχαζε, Ἰώσηπε. Ἄκουε. Μὴ πιστεύεις τοῦτο τὸ πλοῖον εἰς τὴν Σελήνην ἀφίξεσθαι;
Οὐ δῆτα. Πολὺν γὰρ ἤδη χρόνον ὑμῖν οὔ φημι οὐδεμίαν μηχανὴν σχεδὸν ἀπὸ τῆς γῆς ἆρεῖν τὸ μέγα φορτίον τοῦτο.
Εἶεν. Τί ἔχεις ὅ τι ἀπολέσεις; Ἐὰν τὸ πλοῖον ἀτρεμήσῃ, ἀσφαλῶς ἔχεις. Καταγελῴης οὖν ἂν ἡμῶν. Πῶς γὰρ οὔ;
Ὀρθῶς λέγεις. Εἰδὼς τὸ πλοῖον μὴ κῑνηθησόμενον, ναύτης ὑμῶν γενήσομαι τοῦ καταγελᾶν. Οὐ γὰρ ἀπόγειον ἔσται ἀλλ' ἀφύσητον.
Ἆρα ὡμολόγηται σέ γε ἀκολουθήσειν.
Νὴ Δία. Εἷς τῶν ναυτῶν εἰμι. Δοκεῖ μοι ὁ στρατηγὸς Δέψης ἀπατῆσαί με, ὥσπερ καπνοῦ σκιὰν πωλήσας. Εἶεν, νῦν δεῖ με τοῦτο διαφέρειν.
Ἐν δὲ τῷ μεταξύ, οἱ μὲν κατατρίβουσι τὴν νύκτα παρασκευαζόμενοι, ὁ δὲ καθηγητὴς Γαισόταφρος ἔχει τὰ ἑαυτοῦ πράγματα.
Ἀλλὰ γάρ, Αἰμιλία, ἰτέον ἐμοί. Μεῖζόν ἐστι πρᾶγμα ἢ τοὐμὸν ἢ τὸ σὸν ἢ τό τινος ἄλλου.
Εἶεν, φίλτατε. Σὲ οὐ καθέξω μέν, ἀντιβολῶ δ' ἐπανελθεῖν.
Ἀντιβολῶ σ' ἐπανελθεῖν.



Ὁ μὲν καιρὸς ἐγγύς ἐστι. τέσσαρες δ' ἄνδρες ἀγαθοὶ παρεσκευασμένοι εἰσίν.
Τὸ πλοῖον δεδοκιμασμένον γέμει. Εἰς ε' λεπτὰ ἡμέρα γενήσεται. Ἄνω εἰς τὸν θάλαμον.
Ἐξαίφνης...
Μένετε. Ἐπίσχετε. Ἐπυθόμεθα τοῦτο. Πρόσταγμα ἐξελήλυθεν κωλύειν ὑμᾶς ἀπὸ τῆς γῆς ἐκπλεῦσαι. Ἐπίσχετε.
Πρόσταγμα τοῦ ἄρχοντος.
Νῦν δ' οὐδὲν κωλύσει ἡμᾶς. Πρὶν ἂν ὁ κλητὴρ πρὸς ἡμᾶς ἀφίκηται καὶ τὸ πρόσταγμα προείπῃ, εἰς τὸ πλοῖον εἴσιμεν. Ἄνω τὸ ἀκροβατικόν.
Σπεύδετε.
Ἐπίσχετε.
Ἄπιθι ὑπὲρ τῆς ψῡχῆς σου. Ὁ πύραυλος ἐκτοξευθήσεται εἰς ἓν λεπτόν.
Εὐθὺς ἐν τῷ πλοίῳ...
Ἆρα κεῖνται πάντες ἐν ταῖς ἑαυτῶν κλῑ́ναις;
Τριᾱ́κοντα δευτερόλεπτα μέχρι ἀφέσεως.
Γεννήτρια;
Γεννήτρια ἑτοίμη ἅπτειν
Συγ-κυβερνήτης;
Ὄργανα τεταγμένα. Αὐτοκυβερνήτης ἕτοιμος ἐκπλεῖν.



Ὁ ἐπὶ τηλεκοινωνίας:
Πάντα κομψῶς ἔχει, κύριε.
Πατάγου τὴν γῆν σείοντος, ὁ μὲν ἰσχῡρὸς πῡρηνικὸς πύραυλος μέγα βροντῶν ἐξορμᾷ, τέσσαρες δ' ἄνδρες πορεύονται εἰς τὸ διάστημα, ὧνπερ ὁ πλοῦς εἰς τὴν Σελήνην.
Ἔα, περὶ τίνος φροντίζω; Οἶδα γὰρ ὅτι τοιοῦτος ὁ σωρὸς οὐκ ἀποχωρήσεται ἐκ τῆς Γῆς οὐδέν τι. Εἰ δὲ μή, οὐκ ἂν ἠκολούθησα. Πάντα δὴ ταῦτα γέλοια. Ἅ, ἅ, ἅ.
Ἀφέτης ἕτοιμος. ι' δευτερόλεπτα λοιπά, θ', η', ζ', ϛ', ε', δ', γ', β', πορευόμεθα.
KRRROARRRRRR


Ἆ. Ἡμεῖς πάντες σφόδρα τεινόμεθα διὰ τὴν ὑπερμεγέθη ἐπιτάχυνσιν. Ἕκαστος γὰρ ἡμῶν βάρος ἔχει ὡς χῑλίας πεντακοσίας λίτρας. Ἆρ' ἀνέχεσθε - ἆ - πάντες;
Καλῶς ἔχω ἔγωγε. Πάσχω δ' ὡς ἂν ἐν θυέλλῃ μέσῃ ὤν. Ἆ.
Πιεσόμεθα μόνα τρία λεπτὰ καὶ πεντήκοντα δευτερόλεπτα. Τοσοῦτον δυνάμεθα ἀνέχεσθαι. Εὖ ἔχω. Πῶς ἔχεις σύ, ὦ Ἡδύ;
Φεῦ. Ὥσπερ ἐν τῇ οἴκοι κλῑ́νῃ. Οἴμοι. Ἀλλὰ τί γίγνεται, ὦταῖροι; Ἀνάψω τὴν ἐκ τῆς πρύμνης τηλεορᾱτικὸν ὀθόνην.
Νέον Ἐβόρᾱκον ὑφ' ἡμᾶς.
Νὴ τὸν Ἡρακλέᾱ. Μή τι αὕτη ἡ ναῦς εὖ ἐπιτελεῖ τοὔργον αὑτῆς; Μῶν ἀποχωροῦμεν ἐκ τῆς Γῆς; Δόλος πονηρός ἐστι. Παπαῖ.
Ἤδη ὑψηλότατοί ἐσμεν πάντων τῶν πρόσθεν πῡραύλων. Ἔχομεν γὰρ τὸ ὕψος τέσσαρα χῑ́λια στάδια, καταλείποντες τὴν ἀτμόσφαιραν τῆς Γῆς.


Ἔα. Καὶ ὁ ἥλιος καὶ οἱ ἀστέρες ἅμα τῆς ἡμέρας λάμποντες. Οἱ ὀφθαλμοί μου ἐξέλιπον.
Οὐδαμῶς, ὦ Ἡδύ. Ἀλλὰ μόνον ὅτι κατὰ γῆν μὲν ἡ ἀτμόσφαιρα σκεδάννῡσί τε καὶ διαχεῖ τὸ τοῦ Ἡλίου φῶς, τῆς αὐγῆς τοὺς ἀστέρας τοὺς ἀεὶ ἐκεῖ ὄντας κρυπτούσης. Ἐνθάδε δ' ἐν τῷ καθαρῷ διαστήματι ἡ αὐγὴ οὐκ ἀμαυροῖ τοὺς ἀστέρας.
Καὶ γὰρ θεοῦ τὸν Ἥλιον αὐτὸν ἔχοντα τὸ λαμπρὸν στέμμα. Ὅπερ δὲ καὶ κρύπτει ἡ ἀτμόσφαιρα τῆς Γῆς, πλὴν ἐὰν ὅλως ἐκλείπῃ. Ἐνθάδε δὲ ἐν τῷ διαστήματι ἀεὶ ὁρᾷς αὐτό
Τρία λεπτὰ καὶ πεντήκοντα δευτερόλεπτα ἀπὸ ἀπογειώσεως. Τέλος τῆς ἐπιταχύνσεως. Νῦν δ' ὁ πύραυλος σβέννῡται.
Νῦν ἔξεστιν ἡμῖν λῡθῆναι. Ἀπόγειοι γεγονότες οὐκ ἔτι τεινόμεθα.
Ὡς ἡδύ. Νῦν ἔξεστιν ἡμῖν πάλιν περιπατεῖν.
Μεῖνον, Ἰώσηπε. Ἡσύχαζε.
Διὰ τί; Ἀναστησόμενος γάρ...
Βοηθεῖτε. Τί τὸ πρᾶγμα; Αἰωροῦμαι ὡς πτίλον.


Παύετε, δέομαι ὑμῶν, ὦταῖροι, καγχαζόντες καὶ ἐξηγεῖσθε ὅ τι πράττεται. Διὰ τί αἰωροῦμαι;
Ὅτι ἐν ἐλευθέρᾳ πτώσει ἐσμέν, ὦ Ἰώσηπε. Πίπτομεν γὰρ διὰ τοῦ διαστήματος τῷ αὐτῷ ταχυτῆτος ῥυθμῷ καὶ τὸ πλοῖον. Ὡς ὅτε ἀνελκυστὴρ ἐξαίφνης πίπτει, αἰσθάνει ἀβαρὴς ὤν. Οὕτω δ' ἀπέχομεν τῆς βαρύτητος τῆς Γῆς ὥστε αὐτὴ οὐκέτι κατέχει ἡμᾶς.
Ἅ, ἅ.
Οὐ δύναμαι τὸν γέλωτα κατέχειν. Ἅ, ἅ.
Ἰδού, ἅρπασον τὴν χεῖρα. Χρῆ με κατασπᾶν σε.
Ὡς ἀερόστατον ἀποπεφευγός.
Χάριν ἔχω σοι. Ἐντεῦθεν συνέξω ἐμαυτόν.
Οὐδὲν ἔργον ἐστί σοι, Ἰώσηπε, ἀλλ' ὑπόδησαι τάδε τὰ μαγνητικὰ ὑποδήματα ἃ συνέξει σε τῷ χαλυβδικῷ δαπέδῳ.
Οὐδὲ μόνον τῷ δαπέδῳ, Ἰώσηπε. Ἀνεχέ μοι τὴν χεῖρα. Περιπατήσομεν ἀνὰ τό τε τεῖχος καὶ τὴν ὀροφήν.
Τί; Σὺ παίζεις.



Νὴ Δία, συμβαίνει τοῦτο.
Ναί, Ἰώσηπε. Οὐ γὰρ ἔστι βαρύτης συνέχουσα ἡμᾶς ἐνταῦθα. Οὔτε ἔτι τὸ ἄνω οὔτε τὸ κάτω.
Καὶ γὰρ ἐμπεριπατῶμεν πέρα τῆς ὀροφῆς.
Πάντα ἑώρακα. Ἄρτι δ' ὀνομάζετέ με τὴν ἀνθρωπίνην μυῖαν.
Ἔα, ἆρ' ἡ Γῆ ἐκείνη;
Μάλα γε. Ἐσμὲν γὰρ νῦν ὑπὲρ τὰ μύρια καὶ πεντακισχίλια στάδια ἀπ' αὐτῆς, πλέοντες εἰς τὴν Σελήνην.
Νῦν πρῶτον Ἰώσηπος Ἡδὺς γιγνώσκει ὅ τι τὰ νεωστὶ γενόμενα ἀποδείκνῦσιν.
Μὴ λέγετε ὅτι αὕτη ἡ εὐώνυμος ναῦς δύναται εἰς τὴν Σελήνην πλεῖν; Ἀλλ' οὐκ εἶμι ἐγώ. Ἐπαινῶ μὲν ὑμᾶς τοῦ με ὀχηθῆναι, ἀλλ' ἐκπέμψατέ με.
Μὴ λήρους ληρήσῃς, Ἰώσηπε. Νῦν γὰρ ἀνάγκη σοι καθανύσαι τὴν ὁδόν.
Καὶ κατάμαθε, Ἰώσηπε, ὅτι ἀνὴρ ἄριστος κριθήσῃ.
Τίς βούλεται ἄριστος κρῖνεσθαι; Ἔδει δέ με καὶ συναντῆσαι κορασίῳ κομψῷ. Ἡ δὴ λῦπήσῃ ὅταν ἀκούσῃ ὅτι κατέλιπον αὐτὴν μόνον ὡς ἰὼν εἰς Σελήνην τὴν γραῦν.



Θάρσει, Ἴωσηπε. Ὅταν ἐπανέλθῃς ἄριστος ἔσῃ πᾶσαις ταῖς κόραις. Νῦν δέ, τί οὐκ εἰσέρχῃ τὴν στάσιν σου ἐπὶ τῇ ἐκ τῆς πρύμνης τηλε-ορᾱτικὸν ὀθόνῃ;
Ποιήσω, καθηγητά.
Διασκοπῶμεν τὴν Γῆν διὰ τεσσάρων μῡρίων σταδίων.
Ὡς καλόν. Βλέπομεν γὰρ ὅλην τὴν Ἀμερικὴν ἐξ ἐσχάτων ἐς ἔσχατα. Πάντα τὰ ὄρη καὶ τὰς λίμνας καὶ τοὺς ποταμούς.
Καὶ τὰς μεγάλας πόλεις. Ἰδοὺ Ἀγγελώπολιν, Σικᾱγόν τε Νέον Ἐβόρᾱκόν τε. Θαῦμα ἰδέσθαι.
Ἔᾱ, καὶ Βρουκλίνην ὁρῶ. Ὅπερ ὑπομιμνήσκει με τοῦ σήμερον ἀγῶνος μετὰ τῶν Σικᾱγαίων Κυνιδίων ὁπόσα ποιοῦσιν.


Ἐξαίφνης...
Ὤ, ἰλιγγιῶ. Ναυτιῶ.
Οὐ διὰ τὴν θάλασσαν ἀλλὰ διὰ τὸ διάστημα ἤτοι ὅτι ἀπολείπεται ἡ βαρύτης. Ὡς ὁ ἐν ἀκροβατικῷ ταχέως τε καὶ πολὺν χρόνον καταβαίνων.
Ἔχω ἐπὶ τοῦτο καταπότιά τινα. Λαβὲ ἕν, Ἰώσηπε.
Παπαῖ. Ὠλίσθηκε τῶν δακτύλων μου. Δός μοι ἕτερον, καθηγετά.
Διὰ τί; Οὐκ ἀπωλίσθηκε χαμαὶ τοῦτο. Οὐδὲν γὰρ ἐλευθέρως πίπτον οὔτ᾽ ἀπολισθάνει οὔτε διολισθάνει, ἀλλὰ πάντα αἰωρεῖται. Λαβὲ οὖν αὐτό.
Φαίης ἄν, οὐκ ἂν ἀπεβάλλες περόνην ἐν τούτῳ τῷ πλοίῳ καίπερ πειρώμενος.
Ὕστερον πάντες λαμβάνουσι τὰ καταπότια...
Ῥᾴων ἔχω. Ἡμῖν δὲ καιρός ἐστι καλέσασιν δι᾽ ἀκτῖνοφώνου τὴν γῆν ἀγγεῖλαι καλῶς ἔχειν.
Ἀκρῖβῶς, στρατηγέ. Καλῶ Φρέατα Ξηρά. Καλῶ Φρέατα Ξηρά, Γῆν. Διαστημοπλοῖον Ἄρτεμις καλεῖ Φρέατα Ξηρά, Γῆν.
Σταθμὸς κλητικὸς Φρέατα Ξηρὰ καλεῖ. Ἀκούομεν ὑμῶν. Ἆρα καλῶς ἔχετε;
Ἀκηκόαμεν. Ἀπόγειοι γενόμενοι πλέομεν ἐν τάξει. Ὁδοποιούμεθα εἰς τὴν Σελήνην, εἰ μὴ ὄναρ ἐστὶ ταῦτα.
Ἀλεθῶς ὁδοποιούμεθα εἰς τὴν Σελήνην. Ὅπερ δέ σοι, καθηγετά, διατελεῖ τὴν ἡλικίαν σου.
Σοὶ δέ, στρατηγέ, τοῦτο σημαίνει ὅτι οἱ ἄλλοι στρατηγοὶ ἱκετεύσουσι συγγνώμην παρὰ σοῦ μανικοῦ ἀποκληθέντος.
Πεινῶ, ἔγωγέ φημι. Τί τὸ πρῶτον ἐν τῷ διαστήματι δεῖπνον ἡμῶν;



Μανθάνω τοῦτο τὸ βαρύτητα μὴ εἶναι. Οὐ γὰρ δεῖται τραπεζίου οὐδὲ τραπέζης. Αἰωρείσθω δ' ἔμπροσθεν τὰ ἐδέσματα.
Ἰοὺ ἰού. Πρῶτον ἐσθίω τὴν μοῦσαν. Μᾶλλον μεῖνον.
Πρῶτον ἐσθίω τὸ ἀρτίδιον. Μὴ ἄπιθι σύ.
Χρόνῳ δὲ τὸ διαστημοπλοῖον διὰ τοῦ κενοῦ ἀπείρου ὀρύσσει τὴν ἐπὶ τὴν Σελήνην ὁδὸν ἑαυτοῦ.
Τῇ ἀρχαίῃ πεντεκαίδεκα μῡρίων σταδίων ἀνὰ ὥραν ταχυτῆτι ἐλευθέρως πίπτοντες παραπλέομεν ἐπὶ τὴν Σελήνην. Οὐδεμίας δὲ καυσίμου ὕλης δεήσει ἡμῖν μέχρις ἂν προσορμισώμεθα εἰς τὴν Σελήνην.
Λέγεις ὅτι δωρεὰν ὀχούμεθα τὸ λοιπὸν τῆς ὁδοῦ σχεδὸν διὰ διᾱκοσιάκις μῡρίων σταδίων;
Ναί. Ὁ γὰρ Νεύτωνος πρῶτος νόμος λέγει ὁτιοῦν ἐν τῷ κενῷ κῑνούμενον ἐν κῑνήσει διαμένειν ει μὴ κατέχεται. Οὐδὲν δὲ κατέχει ἡμᾶς, οὔτ' ἀήρ, οὔθ' ἕτερόν τι.
Καυσίμου ὕλης μόνον προσδεήσει ἡμῖν τοῦ εἰς τὴν Σελήνην προσορμίζεσθαι. Νῦν δὴ δοκιμάζωμεν τὴν τοῦ αὐτοκυβερνήτου τηλεμετρικὴν κεραίαν.
Πέπηγε, καθηγητά. Οὐδ' ἐξέρχεται. Καίτοι καλῶς ἤλειψα αὐτὴν πρὶν ἀπεχωρήσαμεν.


Μῶν ἤλειψας; Καί τοι ἡ κρᾶσις τοῦ διαστήματός ἐστιν ἑκατὸν ἑβδομήκοντα βαθμοὶ Κελσίου ὑπὸ τοῦ μηδενός. Καταπήγνῦται οὖν ἡ ἀλοιφή. Θαῦμά γε οὐδέν.
Ἠγνόουν, κύριε.
Μὴ ἡγουμένου τοῦ τηλεμετρικοῦ, ἀδυνατοῦμεν προσορμίζεσθαι εἰς τὴν Σελήνην. Ἀνάγκη ἡμῖν λῦσαι τὴν κεραίαν. Τοῦτο δ', ἐὰν μὴ τοῦ πλοίου ἐξελθόντες ἐκείνην ἐπισκευάσωμεν, οὐχ οἷόν ἐστιν
Εἶεν, αἴτιός εἰμι τούτου. Διὸ ἔξω ἀναβὰς ποιήσω γε τοὔργον.
Ἐπίσχε, Ἰώσηπε. Τί εἰσέπνεις ἔξω; Ἆρ' οὐκ ἄπει ἐκεῖ ὁ ἀήρ;
Ἔα. Ἐπιλανθάνομαι. Οὐδέποτε ἐν Βρουκλΐνῃ τοιαῦτα.
Δυνάμεθα μόνον ἀστροναυτικὴν στολὴν φοροῦντες ἐξιέναι. Κινδῡνεύομεν μέν, αἵρεσιν δὲ οὐκ ἔχομεν. Ἐγὼ οὖν καὶ Παῖς καὶ Ἡδὺς ποιήσομεν τοὔργον, τοῦ στρατηγοῦ ἔνδον μένοντος.
Πάντες ἡμεῖς ἔχομεν στολὰς ἄλλων χρωμάτων, ἵνα οὕτως ἡμᾶς αὐτοὺς ῥᾳδίως ἐπιγιγνώσκωμεν, ὅτι τὰ πρόσωπα ἡμῶν ἀσαφῆ ἔσονται. Ἐγὼ μὲν κρόκινος, Παῖς δ' ἐρυθρός, Ἰώσηπος Ἡδὺς δὲ πράσινος.
Εὐλαβεῖσθε. Ἴομεν γὰρ εἰς τὸ στεγανὸν δωμάτιον τὸ μεταξὺ τῆς ἔσω καὶ τῆς ἔξω θύρας. Οὐδ' ἔξεστιν ἡμῖν ἀνοῖξαι τὴν ἔξω πρὶν ἂν ἡ ἔσω ὄπισθεν ἡμῶν πνευματικῶς κατακλεισθῇ. Εἰ δὲ μή, πᾶς ὁ τῆς νέως ἀὴρ ἐξεφέρετο ἂν εἰς τὸ κενὸν διάστημα.


Εὖγε. Νῦν δ' ἡ ἔξω θύρα ἀνοίγεται. Νῦν δ' ὁ ἀὴρ ἐκφέρεται τοῦ στεγανοῦ δωματίου εἰς τὸ διάστημα.
Καὶ ἄνευ ἀέρος δῆλον ὅτι οὐδεὶς ἦχος ἀκούεται. Ἆρ' ἀνεῳγμένοι οἱ πομποδέκται ἐν τοῖς κράνεσι ὑμῶν; Ἆρ' ἀκούετέ μου;
Εὖ, καθηγετά.
Βαβαί. Οὐκ ἔστιν ἀὴρ οὐδεὶς περὶ ἡμᾶς. Νὴ τὸν Ἡρακλέα, τὸ διάστημά ἐστιν ἀληθῶς μέλαν. Ἐκεῖ δὲ πόρρω ἐξέχει ἡ Γῆ.
Εὐθὺς δήσασθε τοὺς σχοίνους ἀσφαλείας, ὦνδρες. Καίπερ τῶν μαγνητικῶν ὑποδημάτων ἡμᾶς συνεχόντων, μὴ κινδῡνεύωμεν αἰωρεῖσθαι διὰ τοῦ διαστήματος.
Ἰδοὺ ἡ τηλεμετρικὴ κεραία πεπηγυῖα. Ἐν ὀλίγῳ χρόνῳ λύσομεν αὐτήν.
Σφὼ μὲν ἐπισκευάσαιτε αὐτὴν ἄνευ ἐμοῦ. Ἐγὼ δ' ἐπισκοπήσω ὄπισθε τοὺς πῡραύλους ἵνα γνῶ αὐτοὺς καλῶς ἔχοντας.



Ὁ σχοῖνος ἀσφαλείας βραχύτερός ἐστιν ἢ ὥστε με ὁρᾶν τοὺς αὐλούς. Εἶεν, τὰ μαγνητικὰ ὑποδήματα καθέξει με διὰ τοῦ λοιποῦ.
Ὡς εἰκάσαι, οἱ πύραυλοι καλῶς ἔχουσιν.
Νῦν ἐπανέρχομαι καί...τί; Αἰωροῦμαι. Ἐπελαθόμην ὅτι, ἐμοῦ γονυπετήσαντος, τὰ μαγνητικὰ ὑποδήματα διεζεύχθη τοῦ χαλυβδικοῦ σκάφους.
Παῖ. Ἰώσηπε. Βοηθεῖτε. Σπεύδετε. Περιπλέω.
Νὴ τὸν Δία.
Λάβοι τόνδε τὸν σχοῖνον. Ἥμαρτηκα.
Πάλιν πειράσομαι. Νὴ Δία. Νῦν βράχιόν ἐστιν.
Νὴ τὸν οὐρανόν. Ὁ καθηγητὴς οὐ παύσεται αἰωρούμενος, ἀλλὰ σπεύδει βραδέως εἰς τὸ κενὸν διάστημα.
Κακοδαίμων ὡς ἀπόλλυται μόνος ἐν τῷ διαστήματι. Ἆρ' οὐχ οἷοί ἐσμεν σῴζειν αὐτόν, ὦ Παῖ;



Ναί, μία ἐλπίς ἐστιν. Ὁ στρατηγὸς Δέψης διὰ πομποδέκτου ἀκούει ἡμῶν. Δέψη, τὴν ἀστροναυτικὴν περιβαλόμενος στολήν, ἐξένεγκε δεξαμενὴν ὀξυγόνου. Σπεῦδε. Κινδῡνεύει γὰρ περὶ ψῡχῆς ὁ καθηγητής.
Εὐθύς...
Ἰδού, Παῖ. Ἐγὼ δ' οὐ συνίημι.
Πῶς χρώμενος δεξαμενῇ ὀξυγόνου πεπιεσμένου σώσεις τὸν καθηγητήν;
Ἆρα μέμνησαι ἐκείνην τὴν περὶ Δρυὸς Δρυοκολάπτου ταινίαν, ὦ στρατηγέ;
Ὁ μὲν ἐχρήσατο πυροβόλῳ, ἐγὼ δὲ χρῶμαι ὀξυγόνῳ πιδύοντι. Ἀλλὰ μὴν ἡ αὐτὴ ἀρχή ἐστιν, δηλονότι ἀνάκρουσις ἤτοι ἀντίδρᾱσις.
Ἤτοι ἔοικα ἀεριωθουμένῳ σκάφει. Ὥσπερ γὰρ σκάφος ἀεριωθεῖται εἰς τὸν οὐρανόν, ὡσαύτως τὸ ἀέριον τοσαύτη δυνάμει ἐκφῡσᾶται ὥστε ὠθεῖν με.
Θαυμαστόν, Παῖ. Σοῦ γὰρ ἡ εὔκαιρος διάνοια σέσωκέν με πρὶν πορρωτέρω ἀπὸ τῆς νεὼς περέπλευσα.
Ἅρπασον τὰς χεῖρας, καθηγητά. Νῦν ἀπελαύνομεν τὴν δεξαμενὴν ὀξυγόνου.



Εὐχώμεθα τὸ ὀξύγονον ἀνέχειν. Ἐπεῖ ὀλίγον ἡμαρτήκαμεν, ἐὰν αὐτὸ ἐλλίπη, αἰωρούμενοι δίιμεν αὐτούς.
Ἡ δεξαμενὴ κενή ἐστιν.
Ἐγὼ δὲ δύναμαι νῦν τῷ σχοίνῳ ἐφάψασθαι ὑμῶν. Ἁρπάσατε αὐτόν.
Σεσωσμ-ένοι.
Καὶ μάλα μόλις.
Τότε δ᾽ ἐν τῇ νηΐ...
Ὅσον κίνδῡνον ἐκινδῡνευσα. Ἀλλὰ μὴ φροντίζετε νῦν τού-του. Ἐγγὺς τῆς Σελήνης ἐσμέν. Παρασκευά-σασθε ὡς προσ-ορμισόμενοι.
Ἰδού, ἡ Σελήνη, ἀέρος τε καὶ ζώντων κενή, καὶ γάρ τοι ἔρημος. Ἡ δ' ἐν ἐκείνοις τοῖς τραχέσιν ὄρεσι καὶ κρᾱτῆρσι προσόρμισις ἔσται ἐπικίνδῡνος.




Πρῶτον μὲν ἀλλάσσω τὸ γῦροσκόπιον ὅ ἔδειξεν ἡμᾶς πρὸς τὴν Σελήνην πλέοντας. Ἀνέχεσθε ὑμεῖς πάντες.
Ἡ ναῦς περιφέρεται ἐν ἡμικυκλίῳ ὅπως ὁ ὀπίσθιος πύραυλος πρὸς τὴν Σελήνην δείξει.
Ὡς ναυτιῶ. Τί δὴ τρεπόμεθα, καθηγητά;
Ἵνα ὁ πύραυλος χαλῑνῶν βραδύνῃ ἡμᾶς προσορμίζοντας εἰς τὴν Σελήνην. Ἀνήφθω ὁ πύραυλος.
ROARRRRRRR
Ἐπιβραδύνοντες τεινόμεθα ὡς ἡνίκ' ἐξεπλεύσαμεν, ἀλλ' οὐχ οὕτω δεινῶς. Νῦν δὲ μόνον ἡμῖν προσορμιζομένοις ἐκκλιτέον μὲν πάντα τὰ ὄρη, εὑρετέον δὲ πεδίον τι.
Εὐλαβήθητε τὰ ὄρη.
Φεῦ. Μόλις ἐξεκλῑ́ναμεν αὐτά.
Οἴμοι, πάντα τὰ πέριξ χωρία τυγχάνει τραχέα ὄντα. Τὸ γὰρ μόνον πεδίον κεῖται ἐν τῷδε τῷ μεγίστῳ κρᾱτῆρι. Ἀνάγκη ἐνταῦθα προσορμίσασθαι. Παρασκευάσασθε πρὸς τὰ χαλεπά.
Ἆ.
Φεῦ.
Ὤ.
THUMP!


Ὀλίγον ὅσον πάντες σιωπῶσιν…
Ἀλλὰ μονὸν καταπλήσσονται οἱ ναῦται καὶ εὐθύς…
Προσωρμισμένοι ἐσμέν. Γῡροσκόπια πεπαύσθω. Ἄγκῡρα καθείσθω.
Σεσωσμένοι ἐπὶ τῆς Σελήνης ἐσμέν.
Εὖ προσώρμισας, Παῖ.
Σὺ οἶσθ' ὅτι κακῶς ἔπραξα. Πλεῖον γὰρ τοῦ δέοντος ἐκαυσάμεθα. Εἴθε μὴ ἀποροῖμεν ὅταν ἐκπλεῦσαι δέῃ.
Μὴ φροντίζετε νῦν τούτου. Ἐπὶ τῆς Σελήνης ἐσμέν, ὦνδρες. Καθηγητά, σὺ καὶ Παῖς περιβάλεσθε τὰς ἀστροναυτικὰς στολάς. Ἄξιος γὰρ εἶ πρῶτος ἐκβῆναι ἐπὶ τὴν Σελήνην.
Σὺ δέ, Ἰώσηπε, κάλεσον Οὐάσινγκτον ἐπὶ τῆς Γῆς ἀγγελῶν ὅτι εἰς τὴν Σελήνην ἀφίγμεθα. Ὃ δὴ ἐπαρεῖ τοὺς ἀνθρώπους.
Διαστημοπλοῖον Ἄρτεμις καλεῖ Οὐάσινγκτον.
Ἐν δὲ τῷ μεταξύ…
Ἰδού, χαμᾶζε καταφέρεται ἡ αὐτομάτη κλῖμαξ ἡμῶν. Σὺ δὲ πρῶτος κατάβηθι, καθηγητά.


Ἄξιος εἶ πρῶτος ἄνθρωπος εἶναι ὅστις ποτὲ πόδα ἐπ' αὐτῆς τῆς Σελήνης ἔθηκεν.
Μεγάλη ἡ τῖμή. Ἐννοεῖτε γὰρ δὴ · εἰς ἅπαντα τὸν αἰῶνα εἰρήσεται καθηγητὴς Κάρολος Γαισόταφρος πρῶτος πόδα ἐπὶ τῆς Σελήνης θεῖναι. Τυγχάνω οὖν ὢν ἐπεθύμουν.
Νῦν, καθηγητά, ἐπιδίκασαι αὐτῆς, ὡς Κολόμβος ἐπεδικάσατο τῆς Ἀμερικῆς.
Χάριτι Θεοῦ καὶ ἐν ὀνόματι τῶν Ἡνωμένων Πολῖτειῶν Ἀμερικῆς, τόνδε τὸν πλάνητα κατέχω ἐπ' ἀγαθῷ καὶ ὠφελίᾳ πάντων τῶν ἀνθρώπων.
Καθηγητά, Οὐάσινγκτον ἀπεκρίνατο. Οἱ δ' ἐπὶ τῆς Γῆς ἄνθρωποι δεινῶς ταράσσονται. Πάντα γὰρ τὰ δίκτυα συνδήσαντες, βούλονται ἀκούειν τὴν φωνήν σου. Λέγε. Συνδέδηκα γὰρ τῷ κυκλώματι τὸν τοῦ κράνους σου πομποδέκτην. Πᾶσα οὖν ἡ Γῆ ἀκούει. λέγε
Ἰδού, ἡ Σελήνη. Ἡ οὕτως ἄκαρπος, ἔρημος, σιωπηλὴ οὖσα ὥστε μόνον οὐ δύναμαι τοιαύτην χώραν διηγεῖσθαι. Ἡ δὲ Γῆ καὶ αὐτή, ὁμοία μεγίστῃ Σελήνῃ τινὶ οὖσα, θαῦμα ἰδέσθαι.
Νῦν δὲ λέγει Ἰάκωβος Παῖς.
Λέξαντος δ' οὕτω τοῦ καθηγητοῦ, οὐκέτι πρὸς τούτοις λέγω εἰ μὴ ὅτι ὑπερήδομαι. Νῦν δ' ἀσπαζόμεθα ἐπεὶ πολλὰ ἡμῖν πρακτέα ἐστὶ πρὶν ἂν ἀποχωρήσωμεν.
Ἰδοὺ παραγίγνονται ὁ στρατηγὸς καὶ Ἰώσηπος Ἡδὺς ἔχοντε τηλεσκόπιον φωτογραφικὸν Σμίτ.


Ἰώσηπε, ἔνεγκε δεῦρο τὸ τηλεσκόπιον, δέομαί σου
Μῶν ἐγὼ ἐκεῖσε; Τίνα νομίζεις με εἶναι; Τὸν Ἡρακλέα;
Πείρᾱσαι, Ἰώσηπε. Ἄγε δή.
Εἶεν, ἀλλ' οὐκ ἔστιν ὅπως οὐδ' ἐλάχιστον κῑνήσω τοῦτο τὸ χρῆμα.
Τί; Κουφότατον γάρ τι αἴρω. Τοῦτο δ' ὀφείλει πεντακοσίαις γε λίτραις σταθμᾶσθαι.
Ἐπὶ τῆς Γῆς οὕτως ἔχει. Τῇ δὲ Σελήνῃ μόνον τὸ ἑκτημόριόν ἐστι τῆς βαρύτητος τῆς Γῆς. Ὥστε μεῖον ἢ ἑκατὸν λίτραι σταθμᾶται.
Οὐκοῦν ἐὰν πηδήσω... βαβαί. Ἄρτι πεπήδηκα τὸ ὑψηλότατον τῆς οἰκουμένης ἅλμα εἰς ὕψος.
Ἐν ᾧ ὑμεῖς τρεῖς διεξιόντες δοκιμάζεσθε, καλέσω τὸν Ἀστίγγην ἐπὶ τῆς Γῆς, τὸν ἔμπειρον λογιστὴν ἡμῶν, ἵνα μάθωμεν εἰ τὸ καύσιμον διαρκεῖ ἐκπλεῦσαι ἡμῖν κακῶς προσορμισαμένοις.
Φέρε δεῦρο τὸ τηλεσκόπιον, Ἰώσηπε. Βούλομαι γὰρ εἰκόνας τῆς τε χώρας καὶ τοῦ οὐρανοῦ καλάς τινας
Ἐγὼ δὲ τῷδε τῷ ἀκτῑνενεργείας μετρητῇ ζητήσω τὰ μέταλλα.
Ἄπεστιν ὁ ἀὴρ ἐπὶ τῆς Σελήνης ὥστε διαφθείρειν τὰς ἄστρων εἰκόνας ταύτας. Αἵ δὴ τοὺς ἐπὶ τῆς Γῆς ἀνθρώπους κῑνήσουσιν.
Ὦ καθηγητά, δοίης ἂν μίαν ἐμοί; Εἰκόνιόν τι δεῖξαι ταῖς ἐπὶ τῆς Γῆς κόραις. Ὁ νοῶν νοείτω.


Ὀλίγον ὀπίσω, Ἰώσηπε. Νῦν δ' ἆρον τοὺς βραχίονας ὡς μέγαν σταθμὸν ἀνέχων. Οὑτωσί.
Ὤ; Οὐ συνίημι. Διὰ τί τοῦτο τὸ σχῆμα;
Ὅτι, Ἰώσηπε, τῆς Γῆς ὑπὲρ σοῦ ἱσταμένης, ὅμοιος ἐν τῇδε τῇ εἰκόνι ἔσῃ Ἄτλαντι ἀνέχοντι τὴν σφαῖραν. Ἥνπερ πάσαις ταῖς φίλαις δείκνῡ.
Καθηγητά, ὁ ἀκτῖνενεργείας μετρητής μου μετρεῖ. Ὃ δὲ σημαίνει Οὐράνιον ἐνταῦθα κεῖσθαι. Πῶς οὐχ οὗτος ὁ πλοῦς χρηστός; Ἀποδώσει γάρ ποτε τὸ χρέος.
Ὦ Παῖ, εὐαγγελιζόμεθά σοι...
Ἐμὲ δὲ χρὴ ἀγγεῖλαι ὑμῖν, ὦνδρες, κακόν τι. Ἠρόμην γὰρ τὸν Ἀστίγγην ἐπὶ τῆς Γῆς. Ὃς δὲ λέγει ὅτι ἔχομεν καύσιμον μόλις ἱκανὸν ἀποχωρῆσαι ἐκ τῆς Σελήνης.
Κοὐκ ἔξεσται τοῦτο ἐὰν μὴ ἐκβάλωμεν τὰ περισσά. Τὰ οὐκ ἀναγκαῖα ἀναιρετέα ἐστὶν ἐκ μέσου, ἢ ἐκ τῆς Σελήνης πάντως οὐδέποτε ἀποχωρήσομεν.
Καὶ κακόν γε. Πρέπει ἡμῖν εὐθὺς ἄρχεσθαι. Ὁ γὰρ καιρὸς τοῦ ἐκπλεῖν μόνον εἰς κε' ὥρας ἐστίν.
Ἔπειτα ποιοῦσι πικρὸν ἔργον...
Ῥίπτετε. Ῥίπτετε πάντα τὰ οὐ πάντως ἀναγκαῖα ἐπανιέναι.


Ἐπεὶ δ' ὁ καιρὸς τοῦ ἐκπλεῖν ἐγγὺς γίγνεται...
Ἐκβεβλήκαμεν σχεδὸν ἑκατὸν σκευῶν τάλαντα. Δεῖ δ' ἡμᾶς ἔτι ἑκατὸν δεκὰ λίτρας ἐκδύειν ἢ οὐκ ἀποχωρήσομεν ἐκ τῆς Σελήνης.
Μὴ ἑκατὸν δεκὰ λίτρας; Νὴ τὸν Δία, μόνον τὰ ἐν τοῖς θυλακίοις ἔξεστιν ἡμῖν ἐκβαλεῖν, οὐδ' ἱκανόν ἐστιν. Τί ποιήσωμεν;
Δ' μὲν ἄνδρες πρὸς ἀλλήλους βλέπουσιν, ἓν δὲ φοβερὸν ἐννοοῦσιν.
Ἓν ἔστιν ἀποκρίνεσθαι. Ἄνθρωπος γὰρ πλεῖον ἢ ἑκατὸν δεκὰ λίτρας σταθμᾶται. Ἕνα οὖν ἡμῶν δεῖ ἐπὶ τῆς Σελήνης μένειν.
Ἐμὲ δηλαδή. Πρεσβύτατος γὰρ καὶ ἀχρηστότατός εἰμι...
Οὐχί, στρατηγὲ Δέψη. Τετύχηκα γὰρ μεγίστης δόξης τὴν Σελήνην εὑρηκώς. Αὐτὸς μενῶ.
Οὐκ ὀρθῶς λέγετον. Ἐγώ εἰμι ὅ τε κυβερνήτης καὶ ὁ ναύαρχος. Ὡς ἄρχων οὖν κελεύω ὑμᾶς ἀπιέναι, ἐμοῦ μένοντος.
Διαφέρομαι.
Εὐφημεῖτε, ἄνθρωποι. Εὐήθες ἀγωνίζεσθαι τίς ὁ ἀνδρειότατός ἐστιν. Μόνον δ' ἄξιόν ἐστι κληροῦσθαι.
Εὖ λέγει ὁ Ἰώσηπος. Κληρωσώμεθα. Ὁ δυστυχὴς μενέτω. Ἀναβῶμεν εἰς τὴν ναῦν.
Ἔδει με ζητεῖν ταῦτα τὰ ὅμοια κομβία. Νῦν δ' ἕτοιμοί ἐσμεν κληροῦσθαι.
Μένει. Ἡδὺς ἀπελήλυθεν. Ἐξείρπυσεν ἀπὸ τῆς νέως.


Ἡδύ, ἐπάνελθε.
Ἔρρωσθε, ἄνθρωποι. Καλὴν ἐπάνοδον οἴκαδε. Ἓν δ' ὑπὲρ ἐμοῦ ποιεῖτε· ἀσπάζεσθε πάσας τὰς κόρας παρ' ἐμοῦ, πάσας δὴ τὰς ἐπὶ τῆς Γῆς.
Ὦ μῶρε. Ὦ λαμπρέ, θαυμαστέ, ἀνδρεῖε μῶρε. Πρῶτον μὲν ἐξηπατήσαμεν ἐκεῖνον τὴν πορείαν. Νῦν δ' αὐτὸς βούλεται ἀποθανεῖν ἵνα ἡμεῖς σῶοι ἐπανέλθωμεν εἰς τὴν Γῆν. Βρουκλῖνη ἐπαινοίη ἂν αὐτόν.
Ἵστασθε. Ἐκεῖνος οὐ μενεῖ ἐνταῦθα ἀποθανούμενος. Παραυτίκα συνίημι ὅπως πάντες σῶοι εἰς τὴν Γῆν ἐπάνιμεν. Ἄκουε, Ἰώσηπε. Τὸ ἀκτῖνόφωνον οὐκ ἔστιν ἡμῖν ἀναγκαῖον. Ἐὰν δὲ τὴν ἀστροναυτικὴν στολὴν καὶ τὰ μαγνητικὰ ὑποδήματα σου ἐκ μέσου ἀνέλωμεν, πρὶν ἂν εἰσέλθῃς, εὖ ἔσται. Νῦν δὲ τάδε πρᾶττε..
Εὖγε Ἰώσηπε. Ῥῖψον τήν τε στολὴν τό τε ἀκτῖνόφωνον καὶ τὰ ὑποδήματα. Σὺ μὲν ἔσῃ ἄνευ ἀερὸς ὀλίγον χρόνον, ἡμεῖς δ' εἰσάξομέν σε πρὶν ἂν πνίγῃς.
Ἕτοιμος;
Ἔ... Ἕτοιμος;
Ἔνεστιν. Ἐκεῖνος δοκεῖ μοι ὑφ' ἡμῶν ἀδίκως ἐξαπατηθῆναι, νῦν δὲ σῶός ἐστιν. Οὐδέποτε ἐπιλησόμεθα ὅ τι ὑπὲρ ἡμῶν ἔπρᾱξας, Ἰώσηπε.
Νῦν δυνάμεθα ἀσφαλῶς ἀποπλεῖν. Ἰδού, ἀπερχόμεθα.
Ἀπεληλύθαμεν. Εἰς τὴν βελτίστην Γῆν.
RRROARRRRR!


Εὐτυχῶς ἡ τῆς Σελήνης βαρύτης οὕτω κούφη ἐστὶν ὥστε οὐ δεῖ ἡμᾶς τοσαύτῃ ἰσχύι χρῆσθαι τοῦ ἐξιέναι.
Ὕστερον
Τῶν τῆς τηλεκοινωνίας ὀργάνων ἐρριμμένων, οὐδὲν ποιητέον ἔμοιγε. Ὢ ἄ. Αὕτη δ' ἡ ἐπάνοδος εὔγνωστός ἐστιν.
Καὶ εὐθὺς ἐπὶ τῆς Γῆς...
Εὖγε.
Ἰώ.
Ζήτωσαν τὸ διαστημοπλοῖον Ἄρτεμις καὶ οἱ ἀνδρεῖοι ναῦται αὐτοῦ.
Πάππα, πάππα.
Ἐπανελήλυθεν, ἐπανελήλυθεν.